Χο. Δεῦρο πᾶς χώρει προθύμως εὐθὺ τῆς σωτηρίας,
Ὦ πανέλληνες, βοηθήσωμεν εἴπερ πώποτε,
Τάξεων ἀπαλλαγέντες καὶ κακῶν φοινικικῶν.
Ἡμέρα γὰρ ἐξέλαμψεν ἥδε μισολάμαχος.
Πρὸς ταῦθ᾽ ἡμῖν εἴ τι χρὴ δρᾶν, φράζε κἀρχιτεκτόνει.
Οὐ γὰρ ἔσθ᾽ ὅπως ἀπειπεῖν ἂν δοκῶ μοι τήμερον
Πρὶν μοχλοῖς καὶ μηχαναῖσιν εἰς τὸ φῶς ἀνελκύσαι
τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην.
Τρ. Οὐ σιωπήσεσθ᾽ ὅπως μὴ περιχαρεῖς τῷ πράγματι,
Τὸν πόλεμον ἐκζωπυρήσετ᾽ ἔνδοθεν κεκραγότες;
Χο. Ἀλλ᾽ ἀκούσαντες τοιούτου χαίρομεν κηρύγματος.
Οὐ γὰρ ἦν ἔχοντας ἥκειν σιτί᾽ ἡμερῶν τριῶν.
Τρ. Εὐλαβεῖσθ᾽ ἐκεῖνον τὸν Κέρβερον καὶ δεδίττεσθε.
Μὴ παφλάζων καὶ κεκραγώς, ὥσπερ ἡνίκ᾽ ἐνθάδ᾽ ἦν,
Ἐμποδὼν ἡμῖν γένηται τὴν θεὸν μὴ ᾽ξελκύσαι.
Χο. Οὔτι καὶ νῦν ἐστὶν αὐτὴν ὅστις ἐξαιρήσεται.
Ἢν ἅπαξ ἐς χεῖρας ἔλθῃ τὰς ἐμάς. ἰοῦ, ἰοῦ.
Τρ. Ἐξολεῖτέ μ᾽ ὦνδρες εἰ μὴ τῆς βοῆς ἀνήσετε.
Ἐκδραμὼν γὰρ πάντα ταυτὶ συνταράξει τοῖν ποδοῖν.
Χο. Ὡς κυκάτω, καὶ πατείτω πάντα, καὶ ταραττέτω.
Οὐ γὰρ ἂν χαίροντες ἡμεῖς τήμερον παυσαίμεθ᾽ ἄν.
Τρ. Τί τὸ κακόν; τί πάσχετ᾽ ὦνδρες; μηδαμῶς πρὸς τῶν θεῶν
Πρᾶγμα κάλλιστον διαφθείρετε διὰ τὰ σχήματα.
Χο. Ἀλλ᾽ ἔγωγ᾽ οὐ σχηματίζειν βούλομαι. ἀλλ᾽ ὑφ᾽ ἡδονῆς,
Οὐκ ἐμοῦ κινοῦντος, αὐτὼ τὼ σκέλη χορεύετον.

A CH. *Huc alacres visite omnes ad salutis semitam,*
*Vniuersi adeste Græci, nunc opem nos ferre opus*
*Liberatos tot maniplis & cruore bellico:*
*Nam dies illuxit hæc inuisa pugnæ & prælio,*
*Nunc ad hæc quid facto opus sit fare, ductor impera,*
B *Iam laboris nil recusandum puto hodie, si modò*
*Protrahamus machinis ad publici auras luminis*
*Maximam omnium dearum, & magnam amicam vitium.*
*TR. Hem tacete, stultis, vt ne effusi in altum gaudium*
*Intus hîc bellum excitetis editis clamoribus.*
C *CH. Sed iuuat nos hocce plebis murmurans præconium,*
*Cùm trium nobis dierum deforet viaticum.*
*TR. Attamen vos hunc cauete cum timore Cerberum*
*Ne ferociente clamosus furore, vt hic prius*
*Quò minus Deam extrahatis impedimento fuat.*
D *CH. Nullus illam ne quidem nunc vindicabit gentium,*
*Libera in manus semel si venerit meas, hui.*
*TRY. Pol viri pessumdatis me ni tumultu parcitis,*
*Conuolante namque planta cuncta mox turbauerit.*
*CH. Misceat, conculcet omnia, atque turbet funditus:*
E *Non enim gaudere desinemus hodie hoc gaudium.*
*TRY. Quid mali? quæ insania ista est, per deos rogo viri*
*Ne per hos motus opus bellissimum corrumpite.*
*CH. Non voluntas hoc suadet, sed voluptas maxima,*
F *Ipsa namque sponte saltant crura, nil mouente me.*

Σχόλια. Δεῦρο πᾶς χώρει.] ἔκθεσις διπλῆς ἀμοιβαίας. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λή. καὶ ἡ ἔκθεσις ταύτης κώλων ὁμοίων τροχαϊκῶν ζ. ὧν τὰ ε. δίμετρα ἀκατάληκτα. τὸ ς παρατέλευτον. τὸ ζ ἑφθημιμερὲς ἰαμβικόν. ὑφ᾽ ὃ αἱ συνήθεις δύο διπλαῖ. Ὦ πανέλληνες.] λεληθότως εἰς ὁμόνοιαν αὐτοὺς περιάγει ὁμοφρονῆσαι πάντας τοὺς Ἕλληνας ἀξιῶν. Καὶ κακῶν φοινικικῶν.] τῶν αἱματωδῶν ἀπὸ τῆς τοῦ αἵματος χροίας. λείπει δὲ τὸ ἡσυχάσομεν ἢ ἀντὶ τοῦ πολεμικῶν.

Bisetvs. Περιχαρεῖς] περισσῶς, σφόδρα, ἀμέτρως χαίροντες.

Σχόλια. Ἐκζωπυρήσετε.] ἀνάψετε τὸν πόλεμον ἤδη κατεσβεσμένον. ἐκζωπυρῆσαι δὲ κυρίως ἐστὶ τὸ ἐκ μικροῦ πυρὸς φυσῶντας, μεγάλην φλόγα κινῆσαι. Οὐ γὰρ ἦν ἔχοντας ἥκειν.] οὐ γάρ φασι πολεμικὸν εἴη τὸ κήρυγμα. ἀλλ᾽ εἰρηνικόν. ἐκ τοῦ παρακολουθοῦντος δὲ, τὴν πόλιν δηλοῖ. Εὐλαβεῖσθε.] νῦν πρὸ ὀφθαλμῶν ἔχετέ φησι, καὶ δεδίττεσθε τὸν Κλέωνα. μὴ ἐμποδὼν τῇ εἰρήνῃ γένηται. Μὴ παφλάζων] διὰ τὸ ταραχῶδες τοῦ Κλέωνος ἐχρήσατο τῷ παφλάζειν. Ἐνθάδ᾽ ἦν] τουτέστιν ὅτε ἔζη. ὁπηνίκα ἦν σὺν ἡμῖν. Μὴ ᾽ξελκύσαι.] ὅτι περιττὸν τὸ μὴ χρῶνται Ἀττικοί. ἤρκει γὰρ εἰπεῖν ὅτι ἐμποδὼν γένηται ὥστε ἐξελκύσαι. Ἰοῦ, ἰοῦ.] ἡδομένων ἐστὶ τὸ, διὸ παραπατᾶται ὡς τοῦ χοροῦ τοῦτο λέγοντος. Οὐ σχηματίζειν] οὐ κατὰ τὴν ἐμὴν φησὶ προαίρεσιν ἡ ὄρχησις γίνεται. ἀλλ᾽ ἤδη διὰ τὴν ἄχετον ἡδονὴν αὐτόματα χορεύει μου τὰ σκέλη.
G